Ο πινακοπώλως] ὁ ὀρνεοπώλης. ὅτι τὰ λιπαρὰ τῶν ὀρνέων, ἐπὶ πινάκων τιθέντες ἐπώλουν. ἢ πίναξ εἶδος ὀρνέου. Ος τὼ δ᾽ ἔφασκε νῷν] οἱ μὲν φασὶν αὐτὸν παρασύρειν τὸν αἰσώπειον λόγον. καὶ δέον εἰπεῖν τῶν ἀνθρώπων, λέγει ἐκ τῶν ὀρνέων. οἱ δὲ, οὕτως. ὃς ἔφασκε μᾶλλον τῶν ἄλλων ὀρνέων δύνασθαι προηγήσασθαι τῆς ὁδοῦ. καὶ δεῖξαι ἡμῖν αὐτὴν ἐκ τῶν ὀρνέων. οἷον ἐκ τοῦ συστήματος τῶν ὀρνέων ἐν ταυτῷ ὄντων. ἄλλως. ἔφασκεν ὁ Φιλοκράτης. τὸ

A δὲ νῷν. τουτέστιν ἡμῖν δεικτικῶς. σημαίνει ἡμῖν ἐκ τῶν ὀρνέων. τουτέστι διὰ τῶν ὀρνέων. ὅπου τὸν Εποπα εὑρήσομεν. γράφεται καὶ ὡς τῷδε. καὶ διαιροῦσί τινες. καὶ προστιθέασι τὸ ἑξῆς. τὸ ἐκ τῶν ὀρνέων ἀπέδοτο. ἐκ τῶν ὀρνέων, τὸν κολοιὸν καὶ τὴν κορώνην. βιαίως γὰρ πρὸς τοῦτο εἰρῆσθαι σημαίνειν ἡμῖν τὸν Εποπα ὅς ἐστι δείξαντα ἐκ τῶν ὀρνέων. παρ᾽ ὑπόνοιαν δὲ εἴρηκε τὸ, ὃς ὄρνις ἐγένετο ἐκ τῶν ὀρνέων. ἔδει γὰρ ἐκ τῶν ἀνθρώπων.

Κἀπέδοτο τὸν μὲν, Θαρρελείδου τουτονὶ
Κολοιὸν, ὀβολοῦ. τηνδὲ δὲ τριοβόλου.
Τὼ δ᾽ οὐκ ἄρ᾽ ἤστην οὐδὲν ἄλλο, πλὴν δάκνειν.
Καὶ νῦν τί κέχηνας; ἔσθ᾽ ὅποι κατὰ τῶν πετρῶν
Ημᾶς ἔτ᾽ ἄξεις, οὐ γάρ ἐστ᾽ ἐνταῦθά τις
Οδός. Πει. οὐ δὲ μὰ Δί᾽ ἐνταῦθά γ᾽ ἀτραπὸς οὐδαμοῦ.
Ευ. Οὐδ᾽ ἡ κορώνη τῆς ὁδοῦ τι λέγει πέρι.
Πει. Οὔ. ταυτὰ κρώζει μὰ Δία νῦν τε καὶ τότε.
Ευ. Τί δὴ λέγει περὶ τῆς ὁδοῦ. Πει. τί δ᾽ ἄλλο γ᾽ ἤ,
Βρύκουσ᾽ ἀπέδεσθαι φησί μου τοὺς δακτύλους.
Ευ. Οὐ δεινὸν οὖν δῆτ᾽ ἐστὶν ἡμᾶς δεομένους
Ες κόρακας ἐλθεῖν καὶ παρεσκευασμένους,
Επειτα μὴ ᾽ξευρεῖν δύνασθαι τὴν ὁδόν;
Ημεῖς γὰρ ὦ ᾽νδρες οἱ παρόντες ἐν λόγῳ
Νόσον νοσοῦμεν τὴν ἐναντίαν Σάκᾳ.
Ο μὲν γὰρ ὢν οὐκ ἀστὸς, εἰσβιάζεται.
Ημεῖς δὲ φυλῇ καὶ γένει τιμώμενοι,
Αστοὶ μετ᾽ ἀστῶν, οὐ σοβοῦντος οὐδενὸς,
Ανεπτόμεσθ᾽ ἐκ τῆς πατρίδος ἀμφοῖν ποδοῖν.
Αὐτὴν μὲν οὐ μισοῦντ᾽ ἐκείνην τὴν πόλιν.
Τὸ μὴ οὐ μεγάλην εἶναι φύσει κεὐδαίμονα.
Καὶ πᾶσι κοινὴν ἐναποτῖσαι χρήματα.

B *Et vendidit quidem Tharrhelidæ: hunc*
*Graculum obolo, hanc autem triobolo.*
*Hi autem non sciunt nihil aliud præter mordere,*
*Et nunc quid oscitas? est ubi in petris*
*Nos adhuc duces, non enim est hic aliqua*
*Via.* PI. *Neque per Iouem hic via nullo modo.*
EV. *Neque cornix viam quid dicit circa.*
C PI. *Non eadem clamitat per Iouem nuncque & tunc.*
EV. *Quid iam dicit de via?* PI. *quid aliud, nisi*
*Mordens exedere dicit mei digitos.*
EV. *Non graue igitur est nos indigentes*
*Ad coruos venire, & apparatos,*
*Postea non inuenire posse viam?*
D *Nos enim ô viri præsentes in sermone*
*Ægrotationem ægrotamus contrariam Sacæ?*
*Hic quidem enim existens non ciuis cogitur,*
*Nos autem tribu & genere honorati,*
*Ciues cum ciuibus non expellente nullo,*
*Volamus ex patria ambobus pedibus.*
*Ipsam quidem non odio habentes illam ciuitatem,*
*Hoc non magnam esse natura, & fortunatam,*
E *Et omnibus communem soluere res.*

Σχόλια. Τὸν μὲν Θαρρελείδου.] Σύμμαχος, Ἀσωπόδωρον. καὶ γὰρ οὗτος ἐπὶ σμικρότητι, ὑπὸ Τηλεκλείδου κεκωμῴδηται. καὶ ὁ κολοιὸς μικρὸς ὢν, ἐκ τῶν πτερῶν τὴν σύστασιν ἔχει. ἄλλως. ἄδηλον εἰ Ἀσωπόδωρον λέγει ὃς κωμῳδεῖται ἐπὶ σμικρότητι σώματος. ἦν δὲ καὶ ὁ Θαρρελείδης μικρός. ἄλλως. οἱ μὲν πλείους ὑπειλήφασιν υἱόν τινα εἶναι Θαρρελείδου βραχὺν καὶ παραπλήσιον κολοιῷ κωμῳδεῖσθαι. οὐκ ἔχομεν δὲ υἱὸν αὐτοῦ διὰ τῆς κωμῳδίας εἰπεῖν. μήποτε οὖν φησι κατὰ περίφρασιν εἴρηκεν Θαρρελείδου κολοιόν. ἐν ἴσῳ τῷ Θαρρελείδης, ὅς ἐστι κολοιώδης. ἢ ὡς κολοιοὺς αὐτὸν πωλοῦντα διαβάλλει. ἄλλως. ὁ τοῦ Θαρρελείου υἱὸς ἐγένετο κολοιός. Τὼ δ᾽ οὐκ ἄρ᾽ ἤστην.] διὰ τοῦ ι τινὲς ἴστην ἀντὶ τοῦ ᾔδεσαν. τουτέστιν ᾔδεσαν ἔξω τοῦ δάκνειν. ἢ ἀντὶ τοῦ ἦσαν. τουτέστιν οὐδὲν ἄλλο ἦσαν ἢ δάκνειν.

BISETVS. Ηστην] Εὐστάθιος λέγει εἶναι τρίτον πρόσωπον τῶν δυϊκῶν τοῦ παρατατικοῦ χρόνου, καὶ τὸ σ ἐκ πλεονασμοῦ ἔχειν.

Σχόλια. Καὶ νῦν τί κέχηνας.] ὡς τοῦ κολοιοῦ κεχηνότος. κατὰ τῶν πετρῶν δὲ ὅπου ἐστὶ τόπος πετρώδης. Οὐ δὲ μὰ Δί᾽ ἐνταῦθα.] ἐδεινοποίησεν ὡς ἀποκεκλημένης πανταχοῦ τῆς ὁδοῦ. ἄλλως δὲ ὀνόματι κέχρηται. Οὐδ᾽ ἡ κορώνη.] ὡς ἤδη φθεγξαμένης αὐτῆς. δύναται καὶ ἐρωτηματικῶς καὶ ἀποφαντικῶς. τινὲς γράφουσιν, οὐδὲ ἡ κορώνη. βρύκουσα δὲ δάκνουσα παρὰ τὴν βορὰν οἱονεὶ βορύκουσα. Ες κόρακας ἐλθεῖν.] παίζει. ἐπεὶ εἰς τὰ ὄρνεα βούλεται ἀπελθεῖν. ἐν λόγῳ δὲ ἐν τῇ ὑποθέσει. Τὴν ἐναντίαν Σάκᾳ.] οὗτός ἐστιν Ἀκέστωρ τραγῳδίας ποιητής. ἐκαλεῖτο δὲ Σάκας, διὰ τὸ ξένος εἶναι. Σάκες γὰρ, Θρᾷκες εἰσί. Θεόπομπος δὲ, καὶ τὸν πατέρα αὐτοῦ Σάκα προσηγόρευσεν Τισαμενόν. ὁ δὲ αὐτὸς καὶ Μυσὸν ἐκάλεσεν. εἰς δὲ τὴν ποίησιν αὐτὸν κεχλευάκασι. F Καλλίας μὲν, ἐν Παιδήταις. καὶ Σάκον οἱ χοροὶ μισοῦσι. Κρατῖνος ἐν Κλεοβούλοις. Ἀκέστορα γὰρ ὅμως εἰκὸς λαβεῖν πληγὰς, ἐὰν μὴ συστρέψῃ τὰ πράγματα. Οὐ σοβοῦντος.] ὡς ἐπὶ ὀρνέων τοῦτό φησι. πάντες γὰρ σοβοῦσι τὰ ὄρνεα. Ανεπτόμεσθ᾽ ἐκ τῆς πατρίδος.] τὸ μὲν ἀνεπτόμεσθα, ἀπὸ μεταφορᾶς τῶν ὀρνέων. τὸ δὲ ἀμφοῖν ποδοῖν, ἐκ τῶν ὀρνέων, ἀντὶ τοῦ ἀμφοῖν τοῖν πτεροῖν. ἢ ἐκ τῶν νεῶν. αἱ οὐριοδρομοῦσαι, ἀμφοῖν τοῖν ποδοῖν πλέουσιν. ὁ δὲ νοῦς, G παντὶ σθένει ὅ ἐστι τελέως. προληπτικῶς δὲ τῇ τῶν ὀρνέων χρῶνται μεταφορᾷ. ὡς καὶ αὐτοὶ ὀλίγον ὕστερον ὀρνιθωθησόμενοι. Εναποτῖσαι χρήματα.] παρ᾽ ὑπόνοιαν ἀντὶ τοῦ ἐμβιῶναι καὶ ἐνοικεῖν, εἶπεν ἐναποτῖσαι χρήματα. εἰς τὸ φιλόδικον τῶν Ἀθηναίων, ὅτι συκοφαντούμενοι οἱ πολλοὶ ἀπέτεινον χρήματα.